Η ΟΣΙΑ ΜΑΤΡΩΝΑ
Η ΡΩΣΙΔΑ Η ΑΘΩΝΙΤΟΣ

Αρχιμ. Φιλοθέος Νικολάκης

Ἐπιμελείᾳ
Ἀρχιμ. Φιλοθέου Νικολάκη

Ἡ ὁσία Ματρώνα ἡ Ρωσίδα ἡ ἀόμματος

Η ΟΣΙΑ ΜΑΤΡΩΝΑ Η ΡΩΣΙΔΑ Η ΑΟΜΜΑΤΟΣ

Ἡ Ἁγία Ματρώνα γεννήθηκε στὶς 22 Νοεμβρίου 1881 σὲ ἕνα μικρὸ χωριὸ τῆς ἀχανοῦς ρωσικῆς γῆς, τὸ Σέμπινο. Οἱ γονεῖς της Δημήτριος καὶ Ναταλία ἦταν χωρικοί, ἄνθρωποι εὐλαβεῖς, βιοπαλαιστὲς καὶ φτωχοί. Εἶχαν τέσσερα παιδιὰ ἀπὸ τὰ ὁποῖα ἡ Ἁγία ἦταν ἡ μικρότερη. Ἐξ αἰτίας τῆς φτώχειας τους οἱ γονεῖς της, κυρίως ἡ μητέρα της, δὲν ἤθελε σὲ καμμιὰ περίπτωση νὰ προβεῖ σὲ βρεφοκτονία. Σχεδίαζε λοιπὸν νὰ ἀφήσει τὸ μικρότερο παιδί της σὲ ὀρφανοτροφεῖο ὅταν θὰ γεννιόταν. Μὲ θαυματουργικὴ ὅμως ἐπέμβαση τοῦ Θεοῦ, μέσα ἀπὸ ἕνα προφητικὸ ὄνειρο, τὴν κράτησε καὶ τὴν ἀνέθρεψε.

Στό Ἅγιο Βάπτισμα τὸ κοριτσάκι, τὸ ὁποῖο γεννήθηκε ἀόμματο, ὀνομάσθηκε Ματρώνα πρὸς

- Πηγές:
• « Ἡ Ἁγία Ματρώνα τῆς Μόσχας» ἔκδ. «ΟΡΘΟΔΟΞΗ ΚΥΨΕΛΗ», Θεσσαλονίκη 2002 καί
• « Ἡ Ἁγία γερόντισσα Ματρώνα ἡ ἀόμματη, ὁ ὄγδοος στῦλος τῆς Ρωσίας», ἔκδ. Ἱερᾶς Καλύβης Ἁγίου Χαραλάμπους, Νέα Σκήτη, Ἅγιον Ὄρος 2002.

τιμὴν τῆς Ὁσίας Ματρώνας τῆς ἐν Κωνσταντινουπόλει (ἑορτάζει στὶς 9 Νομεβρίου).

Ἀπό πολὺ νωρὶς φάνηκε ἡ θεία της ἐκλογή. Διηγοῦνται καὶ γιὰ ἕνα ἐξωτερικό, σωματικὸ σημάδι αὐτῆς τῆς ἐκλογῆς της ἀπὸ τὸν Κύριο. Ἐπάνω στὸ στῆθος της εἶχε ἕνα σταυροειδὲς γρομπαλάκι ἢ μᾶλλον τὸν ἀχειροποίητο ἐπιστήθιο σταυρό της. Θαυμαστὰ γεγονότα συνέβαιναν ἀπὸ τὴν βρεφικὴ της ἡλικία. Ἀφηγοῦνταν ἡ μητέρα της σὲ μιὰ φίλη της πὼς τὶς Τετάρτες καὶ τὶς Παρασκευὲς ἡ Ἁγία δὲν θήλαζε. Κοιμόταν ἐκεῖνες τὶς ἡμέρες καὶ κανεὶς δὲν μποροῦσε νὰ τὴν ξυπνήσει ὥστε νὰ θηλάσει.

Ἡ Ἁγία ἦταν ἐντελῶς ἀόμματη, δηλαδὴ οἱ κόγχες ἦταν κενὲς καὶ ἐντελῶς κλειστὲς ἀπὸ τὰ ματόφυλλά της. Προικίσθηκε ὅμως ἀπὸ τὸν Θεὸ μὲ ὅραση πνευματική. Ἀπήντησε ἡ ἴδια σὲ κάποια πνευματικὴ της κόρη, ἡ ὁποία τὴν συμπόνεσε ἀφοῦ δὲν μπορεῖ νὰ δεῖ τὴν ὀμορφιὰ τοῦ κόσμου: «Ὁ Θεὸς μιὰ φορὰ μοῦ ἄνοιξε τὰ μάτια καί μοῦ ἔδειξε τὸν κόσμο καὶ ὅλα τὰ δημιουργήματά Του. Εἶδα τὸν ἥλιο, τὰ ἄστρα στὸν οὐρανὸ καὶ ὅλα ὅσα βρίσκονται στὴ γῆ, τὴν ὀμορφιὰ τὴν ἐπίγεια, τὰ βουνά, τοὺς ποταμούς, τὸ πράσινο χορτάρι, τὰ λουλούδια καὶ τὰ πουλάκια...».

Ἀπό πολὺ μικρὴ ἀγωνιζόταν στὴν προσευχή. Συνήθιζε τὶς νύχτες νὰ κατεβάζει τὶς εἰκόνες ἀπὸ τὸ εἰκονοστάσι στὸ τραπέζι καὶ νὰ κάνει προσευχὴ καὶ χαιρόταν μ' αὐτές.

Τὰ παιδιὰ πολλὲς φορὲς τὴν πείραζαν καὶ

τὴν ἐνέπαιξαν. Τὴν ἔβαζαν σὲ ἕνα λάκκο καὶ περιεργάζονταν πῶς ψηλαφώντας ἔβγαινε ἀπ' αὐτὸν καὶ ἐπέστρεφε στὸ σπίτι. Ἐξ αἰτίας ὅλων αὐτῶν ἀπὸ νωρὶς ἔπαυσε νὰ παίζει μὲ τὰ ἄλλα παιδιὰ καὶ νὰ μένει στὸ σπίτι.

Νωρὶς φάνηκε καὶ τὸ διορατικὸ - προορατικὸ καὶ θεραπευτικὸ της χάρισμα. Γνώριζε ἁμαρτίες, σκέψεις καὶ πράξεις τῶν ἀνθρώπων. Ἔνοιωθε κινδύνους, προγνώριζε συμφορές, προέβλεπε θεομηνίες. Μὲ τὶς εὐχὲς της θεραπευόταν πλῆθος ἀρρώστων, οἱ ὁποῖοι κατέκλυαν τὸ σπίτι της προερχόμενοι ὄχι μόνο ἀπὸ τὸ χωριό της ἀλλὰ καὶ ἀπ' ὅλη τὴν γύρω περιοχὴ, στὴν ὁποία εἶχε ἀρχίσει σιγὰ σιγὰ νὰ γίνεται γνωστή, αὐτὸ τὸ μικρὸ κοριτσάκι. Ἦταν πιὰ βοήθεια γιὰ τὸ σπίτι της καὶ ὄχι βάρος, ἀφοῦ ἐκεῖνοι οἱ ὁποῖοι ἔρχονταν γιὰ νὰ τοὺς βοηθήσει τῆς πήγαιναν καὶ πολλὰ ἀγαθὰ θέλοντας μὲ τὸν τρόπο αὐτὸ νὰ τὴν εὐχαριστήσουν γιὰ τὴν προσευχή της.

Ἀναφέρεται ἀνάμεσα στὰ ἄλλα καὶ τὸ ἑξῆς θαῦμα: Τέσσερα χιλιόμετρα μακρυὰ ἀπὸ τὸ χωριὸ της ζοῦσε ἕνας ἄνδρας παράλυτος στὰ πόδια. Ἡ Ἁγία εἶπε: «Τὸ πρωῒ ἂς ξεκινήσει γιὰ μένα ἕρποντας. Μέχρι τὶς τρεῖς θὰ 'ρθεῖ». Διήνυσε ἕρποντας ἐκεῖνα τὰ τέσσερα χιλιόμετρα καὶ γύρισε πίσω θεραπευμένος μὲ τὰ ἴδια του τὰ πόδια.

Οἱ γονεῖς της εἶχαν βαθειὰ εὐλάβεια καὶ πραγματικὰ ἡ Ἁγία μεγάλωσε μέσα στὴν ἐκκλησία. Σὲ κάθε λατρευτικὴ εὐκαιρία βρισκόταν στὸ Ναὸ γιὰ

τὶς ἀκολουθίες εἴτε μὲ τοὺς γονεῖς της εἴτε μόνη της, ὅταν μεγάλωσε. Μέσα στὴν ἐκκλησία εἶχε καὶ μόνιμη θέση ἀριστερὰ τῆς εἰσόδου στὸ δυτικὸ τοῖχο. Ἐκεῖ στεκόταν ὄρθια καὶ παρακολουθοῦσε τὶς ἀκολουθίες.

Στὴν ἐφηβικὴ ἡλικία τῆς δόθηκε ἡ εὐκαιρία νὰ πάει σὲ προσκυνήματα. Μιὰ κοπέλα, κόρη ἑνὸς πλουσίου εὐγενοῦς τῆς περιοχῆς τὴν ἔπαιρνε μαζί της σ'αὐτὰ τὰ ἰδιαίτερα ταξίδια στὶς Λαῦρες τοῦ Κιέβου καὶ τοῦ Ἁγ. Σεργίου, στὴν Πετρούπολη κ.ἀ. Λέγεται ἀκόμη ὅτι σὲ μιὰ ἐπίσκεψή της στὴν Κροστάνδη, στὸν ναὸ ὅπου λειτουργοῦσε ὁ Ἅγιος Ἰωάννης, ἐκεῖνος μετὰ ἀπὸ μιὰ Θ. Λειτουργία παρεκάλεσε τὸν κόσμο νὰ παραμερίσει γιὰ νὰ περάσει ἡ δεκατετράχρονη τότε Ματρώνα. Εἰς ἐπήκοον ὅλων μάλιστα εἶπε: «Ἔλα, Ματρώνουσκα, ἔλα σ'ἐμένα. Ἰδοὺ ἔρχεται ἡ ἀντικαταστάτριά μου, ὁ ὄγδοος στῦλος τῆς Ρωσίας!», προμηνύοντας μ'αυτὸν τὸν λόγο του τὴν ἀποστολὴ τῆς Ἁγ. Ματρώνας γιὰ τὴν Ἐκκλησία καὶ τὸ Ρωσικὸ λαὸ στὰ χρόνια τῶν μελλοντικῶν διωγμῶν.

Δυὸ χρόνια μετὰ ἡ Ἁγία καθηλώθηκε ἐξ αἰτίας μιᾶς παράλυσης στὰ πόδια. Παρέμεινε καθιστή ὡς τὸ τέλος τῆς ζωῆς της. Ποτὲ στὰ πενήντα χρόνια ποὺ ἔζησε παράλυτη δὲν παραπονέθηκε καὶ δὲν γόγγυσε γιὰ τὴν ἀσθένειά της, παρὰ βάστασε ταπεινὰ τὸν βαρὺ σταυρό της.

Προεῖδε σὲ μικρὴ ἀκόμη ἡλικία τὴν ἐπανάσταση ποὺ ἐπρόκειτο νὰ γίνει καθὼς ἐπίσης καὶ τὴ δολοφο-

Πλήθη προσκυνητῶν συρρέουν καθημερινῶς στήν Ἱ. Μ. Ἁγ. Σκέπης ὅπου τά λείψανα τῆς Ὁσίας.

νία τοῦ Τσάρου καὶ τῆς οἰκογένειάς του. Προέβλεψε ἐπίσης καὶ τὸν Β΄ Παγκόσμιο Πόλεμο καὶ τὴ νίκη τῆς Ρωσίας ἐπὶ τῶν Γερμανικῶν στρατευμάτων.

Μὲ ἐνέργειές της δὲ ἁγιογραφήθηκε καὶ ἡ εἰκόνα τῆς Θεοτόκου «Τῶν ἀπολωλότων ἡ ἀναζήτησις», τὴν ὁποία εἶδε κατ' ἐπανάληψη σὲ ὄνειρο. Αὐτὴ ἡ εἰκόνα, ἡ ὁποία τοποθετήθηκε στὴν ἐκκλησία τοῦ χωριοῦ της, ἔγινε τὸ πρῶτο τοπικὸ προσκύνημα, δοξασμένο μὲ πολλὰ θαύματα. Στὶς ἀνομβρίες λιτάνευαν τὴν εἰκόνα καὶ πραγματικὰ οἱ ἄνθρωποι δὲν προλάβαιναν νὰ φθάσουν μέχρι τὰ σπίτια τους καὶ ἄρχιζε ἡ βροχή.

Δυστυχῶς ὅμως κάποια στιγμὴ ἦλθε ἡ κομμουνιστικὴ ἐπανάσταση καὶ τὸ περιβάλλον στὸ χωριὸ της ἔγινε ἀρκετὰ δυσάρεστο γιὰ ἐκείνην. Μάλιστα οἱ ἀδελφοὶ της ἔγιναν μέλη τοῦ κομμουνιστικοῦ

Ἡ θαυματουργὴ εἰκόνα τῆς Παναγίας, «Τῶν ἀπολωλότων ἡ ἀναζήτησις».

κόμματος. Ὁ ἕνας ἀπὸ αὐτοὺς ἔγινε καὶ τὸ ἡγετικὸ στέλεχος τοῦ χωριοῦ, γεγονὸς ποὺ ἔκανε τὴν παρουσία της ἀφόρητη γιὰ ἐκείνους. Φοβοῦνταν ἀκόμη καὶ τὴ σύλληψη. Μετακόμισε λοιπὸν στὴν Μόσχα τὸ 1925, ἐκεῖ ὅπου ἔζησε σχεδὸν ὅλα τὰ ὑπόλοιπα χρόνια τῆς ζωῆς της, βοηθώντας πλήθη δυστυχισμένων, καταπονουμένων, ξεκομμένων ἀπὸ τὴν ὀρθόδοξη πίστη, μὲ ψυχικὲς ἀσθένειες καὶ διεφθαρμένη τὴ συνείδηση. Πολλοὺς ἔσωσε μὲ τὴν προσευχή της καὶ καθοδήγησε στὴ σωτηρία.

Στὴ Μόσχα δὲν ἀπέκτησε ποτὲ σταθερὴ κατοικία καὶ γι' αὐτὸ περιπλανιόταν ἀπὸ σπίτι σὲ σπίτι σὲ

γνωστοὺς καὶ συγγενεῖς, σὲ σπιτάκια, διαμερίσματα καὶ ὑπόγεια. Ἔγινε ἔτσι μιὰ ἄστεγη ὁδοιπόρος. Κάποια πνευματικὴ της κόρη τὴν βρῆκε μιὰ φορὰ σὲ ἕνα σπιτάκι ἀπὸ κόντρα πλακὲ ποὺ τῆς εἶχε δώσει κάποιος προσωρινά. Ἂν καὶ ἀκόμη φθίνόπωρο μόλις καὶ μετὰ βίας κατόρθωσε νὰ ξεκολλήσει τὰ μαλλιά της ἀπὸ τὸν τοῖχο ὅπου εἶχαν κολλήσει ἀπὸ τὴν παγωνιά. Κάποιες κατοικίες τὶς ἐγκατέλιπε βιαστικὰ προβλέποντας τὸν ἐρχομὸ τῆς ἀστυνομίας καὶ τῶν θλίψεων. Τὴν ἐποχὴ ἐκείνη γιὰ νὰ ἐγκατασταθεῖς ὁπουδήποτε χρειαζόταν ἄδεια διαμονῆς ἀπὸ τὴν ἀστυνομία. Οἱ μὴ ἔχοντες τέτοια ἄδεια συλλαμβάνονταν καὶ πολλὲς φορὲς ἐπιχειρήθηκε ἀπὸ τὴν ἀστυνομία ἡ σύλληψή της ἀλλὰ κάτι τέτοιο στάθηκε ἀδύνατο. Ἔτσι λοιπὸν ἔσωζε καὶ τὸν ἑαυτό της ἀλλὰ καὶ ἐκείνους οἱ ὁποῖοι τὴν φιλοξενοῦσαν.

Διηγεῖται μιὰ πνευματικὴ της κόρη ὅτι κάποτε ποὺ

Ἡ Κοίμηση τῆς Γερόντισσας.

ἦλθε ἕνας ἀστυνομικὸς νὰ τὴν συλλάβει ἐκείνη τὸν προειδοποίησε γιὰ τὴν σύζυγό του, ἡ ὁποία καιγόταν στὸ σπίτι ἀπὸ μιὰ γκαζιέρα ποὺ εἶχε πιάσει φωτιά. Ἐκεῖνος ἔφυγε τρέχοντας καί ἔτσι ἔσωσε τὴν γυναίκα του προλαβαίνοντας νὰ τὴν πάει στὸ νοσοκομεῖο.

Ὅλη της ἡ ζωὴ πέρασε μὲ τὸ νὰ ὑποδέχεται τὸ πρωΐ τὸν κόσμο καὶ τὸ βράδυ μὲ τὴν προσευχή· ἀπὸ τοὺς συχνοὺς σταυροὺς δημιουργήθηκε στὸ μέτωπό της ἕνα λακκάκι - τὸ ἴχνος τῶν δακτύλων της. Τὸν σταυρό της τὸν ἔκανε ἀργὰ ἀργά, μὲ θέρμη, τὰ δακτυλάκια της ψάχνανε τὸ λακκάκι. Ποτὲ δὲν πλάγιασε γιὰ ὕπνο, σὰν τοὺς παλαιοὺς ἀσκητές, ἀλλὰ μισοκοιμόταν ἀκουμπώντας στὸ πλευρὸ μὲ προσκεφάλι τὴ γροθιά της. Λέγεται ὅτι ἐκείνους οἱ ὁποῖοι τὴν ἐπισκέπτονταν μὲ πονηρὸ σκοπὸ τοὺς ἔδιωχνε. Ἐπίσης κάποιοι τὴν θεωροῦσαν κάτι σὰν «λαϊκὴ κομπογιανίτισσα», ἡ ὁποία ξεματιάζει. Βέβαια ὅλοι αὐτοί, ὅταν τὴν γνώριζαν ἄλλαζε ἡ ζωή τους, καταλάβαιναν ὅτι εἶναι ἄνθρωπος τοῦ Θεοῦ καὶ ἔπαιρναν στροφὴ πρὸς τὴν Ἐκκλησία καὶ τὴν μυστηριακὴ ζωή. Ἀπαιτοῦσε ἀπὸ ἐκείνους ποὺ τὴν πλησίαζαν γιὰ διαφόρους λόγους πίστη στὸ Θεὸ καὶ διόρθωση τῆς ἁμαρτωλῆς τους ζωῆς. Συμβούλευε ὅλους νὰ ἐκκλησιάζονται ἀπαραιτήτως κάθε Κυριακή, νὰ ἐξομολογοῦνται καὶ νὰ κοινωνοῦν τῶν Ἀχράντων Μυστηρίων. Σ' ὅλους δὲ ἔλεγε νὰ φοροῦν πάντοτε ἐπιστήθιο σταυρό.

Ὅπου καί ἂν πήγαινε, σ' ὅποιο σπίτι καί ἂν φιλοξενοῦνταν ἔφερνε τὴν εἰρήνη καὶ τὴν ἠρεμία στὶς

Ὁ τάφος τῆς Γερόντισσας στὸ κοιμητήριο Ντανιλόφσκι.

ψυχές. Ἐκεῖ πλέον ἐπικρατοῦσε ἕνα κλίμα ἁγιότητος, χαρᾶς, ἡ θέρμη τῆς Θείας Χάριτος.

Ἡ ἐξωτερικὴ της ἐμφάνιση ἦταν ἡ ἑξῆς: εἶχε κοντὰ πόδια, χέρια μικροκαμωμένα σὰν μικροῦ παιδιοῦ. Καθόταν συνήθως μὲ τὰ πόδια της χιαστὶ ἐπάνω στὸ κρεββάτι καὶ τὰ μαλλιὰ της χνουδωτά, ἴσια χωρισμένα στὴ μέση. Τὰ μάτια κολλητὰ κλεισμένα. Τὸ πρόσωπο φωτεινό. Ἡ φωνὴ γλυκειά. Ἄλλοτε χαριτολογοῦσε μὲ τοὺς ἀνθρώπους καί ἄλλοτε τοὺς ἔλεγχε μὲ δριμύτητα καὶ τοὺς νουθετοῦσε. Δὲν ἦταν αὐστηρὴ γιὰ τὶς ἀνθρώπινες ἀδυναμίες, ἀλλὰ ἐπιεικής, συμπονετική, θερμή, εὐσπλαγχνική, πάντα χαρούμενη. Δὲν ἔκανε κηρύγματα καὶ διδασκαλίες. Ἔδινε στὸν ἄνθρωπο μιὰ συγκεκριμένη συμβουλὴ τί πρέπει νὰ κάνει στὴ μία ἢ στὴν ἄλλη περίπτωση, ἔκανε προσευχὴ καὶ ἔδινε

Ἐσωτερικὸ τοῦ τάφου.

τὴν εὐχή της. Ἦταν γενικὰ ὀλιγόλογη καί ἀπαντοῦσε στοὺς ἐπισκέπτες λακωνικά, μὲ λίγα λόγια.

Δίδασκε νὰ μὴν κατακρίνει κανεὶς τὸν πλησίον του, νὰ ἐμπιστεύεται στὸ θέλημα τοῦ Θεοῦ. Νὰ ζεῖ μὲ προσευχή, νὰ ὑπομένει τὶς θλίψεις. Νὰ κάνει συχνὰ τὸ σταυρό του, θωρακίζοντας τὸν ἑαυτό του μὲ τὸν Τίμιο Σταυρό. Συνιστοῦσε συχνὴ Μετάληψη τῶν Ἀχράντων Μυστηρίων, καὶ ἀγάπη πρὸς ὅλους, ἰδιαιτέρως τοὺς ἡλικιωμένους καὶ τοὺς ἀσθενεῖς. Ἔλεγε: «ἅμα ἄνθρωποι γέροι, ἄρρωστοι ἢ ἐκεῖνοι ποὺ ἔχασαν τὰ μυαλά τους σᾶς λένε κάτι δυσάρεστο ἢ προσβλητικό, μὴν τοὺς ἀκοῦτε, ἀλλὰ ἁπλῶς νὰ τοὺς βοηθᾶτε. Μὲ ὅλη τὴν ἐπιμέλεια πρέπει νὰ βοηθᾶ κανεὶς τοὺς ἀρρώστους καὶ νὰ τοὺς συγχωράει ὅ,τι καὶ νὰ τοῦ ποῦν, ὅ,τι καὶ νὰ κάνουν».

Συνιστοῦσε ἐπίσης νὰ μὴ δίνει κανεὶς προσοχὴ στὰ ὄνειρα, διότι μπορεῖ ὁ διάβολος νὰ τὰ χρησιμοποιήσει γιὰ νὰ στενοχωρήσει ἢ νὰ μπερδέψει μὲ λογισμούς. Προέτρεπε τὶς γυναῖκες νὰ μὴν χρησιμοποιοῦν διάφορα φτιασίδια διότι αὐτὰ διαστρέφουν τὴν φυσικὴ ὁμορφιὰ ποὺ ἔχει δώσει ὁ Θεὸς στὸν καθένα. Ἔλεγε ὅτι ὁπωσδήποτε πρέπει νὰ δέχεται κανεὶς ἰατρικὴ βοήθεια· «τὸ σῶμα εἶναι τὸ σπιτάκι πού μᾶς ἔδωσε ὁ Θεός, πρέπει νὰ κάνουμε καμμιὰ ἐπισκευή. Ὁ Θεὸς ἔκανε βότανα, διάφορα φάρμακα καὶ δὲν πρέπει νὰ τὰ περιφρονοῦμε». Καί ἀκόμη: «Ἀδικοχαμένος γίνεται κανείς, ὅταν ζεῖ χωρὶς προσευχή». Ἔνοιωθε ἀκόμη στὴν ψυχή της, καταλάβαινε ἔντονα τὴν ἁμαρτωλὴ ζωὴ ποὺ προκαλοῦσε τὸ ἀθεϊστικὸ περιβάλλον καὶ ἡ ἁμαρτωλὴ καί ἀμετανόητη ζωή. Γι' αὐτὸ ἀγωνιζόταν νὰ βοηθήσει ὅλες τὶς πνευματικὰ ἄρρωστες ψυχές. Κουραζόταν τόσο πολὺ ὥστε στὸ τέλος τῆς ἡμέρας δὲν μποροῦσε οὔτε νὰ μιλήσει μὲ τοὺς δικούς της καὶ μόνο σιγὰ ἀναστέναζε, ἀκουμπώντας τὸ κεφάλι στὴν

Τὸ ἔνδυμα τῆς Ἁγίας μετὰ τὴν ἐκταφή.

Τὸ κομποσχοίνι τῆς Ὁσίας.

παλάμη της. Κάθε μέρα ἦταν γεμάτη ἀπὸ θλίψεις καὶ στενοχώριες ἀνθρώπων πού ἔρχονταν πρὸς αὐτήν. Βοηθοῦσε ὅμως παρηγοροῦσε καὶ θεράπευε. Γίνονταν πολλὲς θεραπεῖες δι' εὐχῶν της. Ἔπιανε μὲ τὰ δυὸ της χέρια τὸ κεφάλι τοῦ ἀνθρώπου, τὸν θέρμαινε μὲ τὴν ἁγιότητά της. Αὐτὸς ἔφευγε ἀναπτερωμένος, ἀλλὰ ἐκείνη μετά, ὅλη τὴ νύχτα, ἔκανε προσευχὴ καὶ ἀναστέναζε.

Ἡ ἀρετὴ της συνίστατο στὴ μεγάλη ὑπομονή, ἡ ὁποία προερχόταν ἀπὸ τὴν καθαρότητα τῆς καρδιᾶς της καὶ τὴ θερμὴ ἀγάπη της πρὸς τὸν Θεό. Δίδασκε ὄχι μὲ λόγια ἀλλὰ μὲ ὅλο τὸ βίο της. Ζοῦσε χωρὶς κατοικία, περιουσία καὶ προμήθειες. Ζοῦσε μὲ προσφορὲς χωρὶς καί αὐτὲς νὰ τὶς ἔχει πάντα. Εἶχε τὴν ἐμπιστοσύνη της στὸν Κύριο. Ἔλεγε: «δὲν πρέπει νὰ φοβᾶται κανεὶς τίποτα, ὅσο φοβερὸ καὶ ἂν φαίνεται αὐτό. Βλέπεις, κουβαλᾶνε ἕνα μωρὸ μὲ τὸ ἑλικοθράκι

καὶ δὲν τὸ νοιάζει τίποτα! Ὅλα θὰ τὰ κανονίσει ὁ ἴδιος ὁ Κύριος!».

Αὐτὴ λοιπὸν ἦταν ἡ Ἁγία Ματρώνα ἡ ἀόμματος. Τρεῖς ἡμέρες πρὶν τὴν κοίμησή της ὁ Κύριος τῆς ἀπεκάλυψε τὴν τελείωσή της ὥστε νὰ κάνει ὅλες τὶς ἀπαραίτητες προετοιμασίες, ὅπως καὶ ἔκανε. Μέχρι τὸ τέλος ἐξομολογοῦνταν καὶ κοινωνοῦσε τῶν Ἀχράντων Μυστηρίων ἐνῶ δὲν ἔκρυβε πὼς φοβόταν τὸν θάνατο. Κοιμήθηκε στὶς 2 Μαΐου 1952, ἡμέρα Παρασκευή. Τὴν Κυριακὴ ἔγινε ἡ νεκρώσιμος ἀκολουθία στὸν Ἱ.Ναὸ τοῦ Ἱεροῦ Χιτῶνος τοῦ Κυρίου καὶ ἐνταφιάσθηκε στὸ νεκροταφεῖο τῆς Μονῆς τοῦ Ἁγ.Δανιήλ, γιὰ νὰ «ἀκούει τὴν ἀκολουθία» (ἦταν ἀπὸ τοὺς λίγους ναοὺς ποὺ παρέμειναν ἀνοιχτοὶ στὴν Μόσχα).

Πρέπει νὰ σημειωθεῖ ὅτι προεῖπε καὶ τὰ ἑξῆς πρὶν κοιμηθεῖ: «Ὅταν θὰ πεθάνω, στὸν τάφο μου θὰ ἔρχονται λίγοι, μόνο οἱ οἰκεῖοι μου, καὶ ὅταν θὰ

Τὸ Ἱερὸ Λείψανο τῆς Ὁσίας

πεθάνουν καὶ ἐκεῖνοι θὰ ἐρημώσει ὁ τάφος μου, σπάνια θὰ ἔρχεται κανείς. Ἀλλὰ μετὰ ἀπὸ χρόνια ὁ κόσμος θὰ μὲ γνωρίσει καὶ θὰ ἔρχονται σὰν κοπάδια γιὰ νὰ βοηθηθοῦν. Ταλαιπωρημένοι ἀπὸ τὶς θλίψεις τους θὰ μὲ παρακαλᾶνε νὰ προσεύχομαι γι' αὐτοὺς καί ἐγὼ ὅλους θὰ τοὺς ἀκούω καὶ ὅλους θὰ τοὺς βοηθῶ». «Ὅλοι, ὅλοι νὰ ἔρχεσθε σὲ μένα καὶ νά μοῦ λέτε σὰν σὲ ζωντανή τὶς θλίψεις σας καὶ ἐγὼ θά σᾶς βλέπω καὶ θά σᾶς ἀκούω καὶ θά σᾶς βοηθάω». Κι ἀκόμη: «ὅλους ποὺ ζητᾶνε βοήθεια ἀπὸ μένα θὰ τοὺς συναντάω μετὰ τὸ θάνατό τους».

Τὴν Ἁγία Ματρωνούλα, ὅπως τὴν ἀποκαλοῦν χαϊδευτικὰ οἱ Ρῶσοι, γνωρίζουν πολλοὶ σήμερα, χιλιάδες συρρέουν καθημερινὰ στὸν τάφο της, ἀπ' ὅλο τὸν κόσμο. Ἐκείνη τοὺς βοηθάει ὅπως καὶ στὸν καιρὸ τῆς ἐπίγειας ζωῆς της. Αὐτὸ τὸ ἀντιλαμβάνονται ὅλοι ὅσοι μὲ πίστη καὶ ἀγάπη ζητοῦν τὴν προστασία της καὶ τὶς μεσιτεῖες της στὸν Κύριο, πρὸς τὸν Ὁποῖο ἡ Ἁγία ἔχει μεγάλη παρρησία.

Στὶς 8 Μαρτίου 1998 ἔγινε ἡ ἀνακομιδή της καὶ τὰ Ἱερὰ Λείψανά της, ἀνάμεσα στὰ ὁποῖα καὶ τὸ ὀστέϊνο σταυρουδάκι, τὸ κολλημένο πάνω στὸ στέρνο της, μεταφέρθηκαν στὴν Γυναικεία Ἱερὰ Μονὴ τῆς Ἁγ. Σκέπης στὴ Μόσχα, ὅπου χιλιάδες προσκυνητές περιμένουν καθημερινά γιά νά τά προσκυνήσουν.

Ἡ μνήμη της τιμᾶται στὶς 2 Μαΐου.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΑΟΜΜΑΤΟΝ ΣΥΓΧΡΟΝΟΝ ΡΩΣΙΔΑ ΑΣΚΗΣΑΣΑΝ ΕΝ ΚΟΣΜΩ

Ἡ μνήμη αὐτῆς τελεῖται τῇ Β΄ Μαΐου.
Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

Ὁ Ἱερεύς· Εὐλογητός ὁ Θεός...
Ὁ ἀναγνώστης· Ἀμήν.

Ψαλμός ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος, καί ἠκηδίασεν

ἐπ' ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου. Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ' ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τό πρωΐ τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός σέ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μου. Το πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου, καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

Καί εὐθύς τό, Θεός Κύριος, ἐξ ἑκατέρων τῶν Χορῶν, ὡς ἐξῆς: Ἦχος δ΄.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός,
ὅτι εἰς τόν ἀιῶνα τό ἔλεος αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...
Στίχ. β΄. Πάντα τά ἔθνη ἐκύκλωσάν με, καί τῷ
ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...
Στίχ. γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι
θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...

Εἶτα τά παρόντα Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὴν ἐν Ῥωσίᾳ διαλάμψασαν ἄρτι
ὑπομονῇ ἐν τοῖς ἑκάστοτε πόνοις,
ἀγάπῃ πρὸς τοὺς πάσχοντας καὶ πρὸς τὸν Θεόν,
ταπεινώσει, μέλψωμεν, ἀπαθείᾳ καὶ νήψει
μελλιῤῥύτοις ᾄσμασι, θεοφόρον Ματρώναν,
αὐτῆς λιτὰς ἀόκνους εὐλαβῶς
πρὸς τὸν Δεσπότην Χριστὸν ἐξαιτούμενοι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν.
Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,

τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ψαλμός Ν΄ (50).

Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου, καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον, καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα· ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καί νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας· τά ἄδηλα καί τά κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καί καθαρισθήσομαι· πλυνεῖς με, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου, καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί

πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου σου, καί τό Πνεῦμα σου τό ἅγιον μή ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καί τεταπεινωμένην, ὁ Θεός, οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τήν Σιών καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους.

ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

«Ματρώνα, λιταῖς σου σκότη μου διάλυσον. Χ.»

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ματρώνα, δικαίως ὑπὸ σεπτοῦ

ἡ ὀνομασθεῖσα
στῦλος ὄγδοος ἀχανοῦς
Ῥωσίας, Κρονστάνδης Ἰωάννου,
ἐν εὐσεβείᾳ ἡμᾶς πάντας στήριξον.

Ἁγίασον πάντας σε εὐλαβῶς,
Ματρώνα, τιμῶντας
ὥσπερ κρήνην ἁγιασμοῦ
θεόβρυτον καὶ πηγὴν θαυμάτων
τὴν ἐν Ῥωσίᾳ ἀρτίως ἐκβλύσασαν.

Τοῦ κόσμου ἀσκήτρια θαυμαστή,
Ματρώνα ὁσία,
δυσχειμέροις ἐν τοῖς καιροῖς
δεινῆς ἀθεΐας ἐν Ῥωσίᾳ
ἡ διαλάμψασα, ῥῦσαί με θλίψεων.

Θεοτοκίον.

Ῥοαῖς, Μητροπάρθενε, ῥυπτικῶν
εὐχῶν σου πρὸς Κτίστην
καὶ Υἱόν σου ἡμῶν παθῶν
κατάσβεσον φλόγα χαμαιζήλων,
Θεογεννῆτορ, μερόπων διάσωσμα.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ὡς πυξίον σοφίας

καὶ ἀρετῆς μέλπομεν
σὲ τῶν εὐσεβῶν αἱ χορεῖαι,
χάριτος σκήνωμα,
Ματρώνα, καὶ δωρεῶν
παντοδαπῶν ἐκμαγεῖον
οἱ ἐν δίναις σπεύδοντες
τῇ μεσιτείᾳ σου.

Νῦν, ἀόμματε μῆτερ,
ἡ τῆς ψυχῆς ὄμματα
ἔχουσα σαφῶς ἐστραμμένα
πρὸς τὸν οὐράνιον
Νυμφίον καὶ Λυτρωτήν,
Ματρώνα, ἄνοιξον κόρας
τὰς ἡμῶν θεάσασθαι
τὰ ὑπὲρ ἔννοιαν.

Ἀσκουμένων γυναίων
θεοειδὲς ἔκτυπον,
ἡ ὀφθεῖσα Πνεύματος θείου
κατοικητήριον,
τῷ σῷ Νυμφίῳ Χριστῷ,
Ματρώνα, πρέσβευε, σῶφρον,
δοῦναι τοῖς τιμῶσί σε
χάριν καὶ ἔλεος.

Θεοτοκίον.

Λυμεῶνος ἀΰλου
γένους βρότων, Δέσποινα,
Κεχαριτωμένη Μαρία,
θεία ὀλέτειρα,
ἐξ ἐπηρείας αὐτοῦ
ἀπάλλαξόν με ἐν τάχει
τὸν ψυχῇ καὶ χείλεσι
σὲ μακαρίζοντα.

Διάσωσον,
ἀπὸ κινδύνων, Ματρώνα, τοὺς σὲ τιμῶντας
ὡς νεόφωτον ἀρετῶν παντοίων ἀπαύγασμα
καὶ ἄστρον πρὸς στένοντας συμπαθείας.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Τὴν ὑπομονῇ καὶ ταπεινώσει λάμψασαν
ἐν χρόνοις δεινοῖς Ῥωσίας ἀνυμνήσωμεν
ἀσκήτριαν κράζοντες·
τιμαλφὲς ἀρετῶν ἀνακτόριον,
Ματρώνα, χάριν εὕρηκας Χριστῷ
πρεσβεύειν ὑπὲρ τῶν εὐφημούντων σε.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Ἱκετῶν εἰς βοήθειαν
σπεῦσον σῶν, Ματρώνα θεοχαρίτωτε,
σαρκοφόρος ὥσπερ ἄγγελος
ἐν Ῥωσίᾳ ἄρτι διαλάμψασα.

Ταπεινώσεως σκήνωμα
καὶ εἰκών, πανεύφημε, προοράσεως,
τήρει πάντας τοὺς τιμῶντάς σε
ἐν ὑπομονῇ καὶ νήψει πάντοτε.

Ἀσινεῖς διατήρησον
νόσων κατωδύνων τοὺς ἐκζητοῦντάς σου
τὰς πρεσβείας πρὸς τὸν Ὕψιστον,
θεαυγὲς Ματρώνα, ὑπερένδοξε.

Θεοτοκίον.

Ἱλαστήριον ἄμεσον
κόσμου, ἀπολύτρωσαι, Μητροπάρθενε,
τοὺς πιστῶς σε μακαρίζοντας
καὶ ἐκδεχομένους τὴν σὴν εὔνοιαν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Σοῦ τὴν εὐαγῆ
πολιτείαν ἀναμέλποντες

ἐν τῷ κόσμῳ ἐξαιτούμεθα εὐχὰς
πρὸς τὸν Κύριον, Ματρώνα, τὰς ἀόκνους σου.

Στήριξον ἡμᾶς
ἐν τῇ πίστει τοὺς προστρέχοντας
σῇ, Ματρώνα γεραρά, ἐπισκοπῇ
καὶ ὑμνοῦντάς σε ὡς στῦλον θεοφώτιστον.

Ὄλβε τῆς Χριστοῦ
Ἐκκλησίας πολυτίμητε,
θησαυρόν, Ματρώνα, ὥσπερ τιμαλφῆ
θείας Σκέπης μάνδρα ἔχει τὰ σὰ λείψανα.

Θεοτοκίον.

Ὕμνοις σε ἀεὶ
σωτηρίας ὡς κρηπίδωμα
καταστέφομεν βροτῶν, Μῆτερ Θεοῦ,
καὶ χαρᾶς ἡμῶν ἀλήκτου θείαν πρόξενον.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Στηρίζουσα δῆμον ἐμπερίστατον
δυσχειμέροις ἀθεΐας ἐν χρόνοις,
μῆτερ Ματρώνα, οὐκ ἔπαυσας Ῥώσων
ἐπιζητούντων ἀλήθειαν πίστεως,
ἡ νῦν στηρίζουσα εὐχαῖς
σαῖς πρὸς Κύριον πάντας ἱκέτας σου.

Κραυγάζει σοι εὐσεβῶν ὁμήγυρις
καταφεύγουσα, Ματρώνα, σῇ σκέπῃ
καὶ ἀκλινῇ προστασίᾳ· ὑψόθεν
μὴ διαλίπῃς ἡμᾶς ἐποπτεύουσα,
Κυρίου νύμφη, τοὺς πιστῶς
μελῳδοῦντας ἀσκήσεως πόνους σου.
Ὀμμάτων μου τῆς ψυχῆς διάνοιξον,
θεοφόρητε Ματρώνα, τὰς κόρας
τοῦ βλέπειν πάντα συμφέροντα, κράζω,
ἡ ἀομμάττως τὸν βίον ἀνύσασα
καὶ παρειμένη ἐν καιροῖς
τοῖς ἐσχάτοις, Ῥωσίας ὡράϊσμα.

Θεοτοκίον.

Τὴν δέησιν, Θεοτόκε Δέσποινα,
ἡ τεκοῦσα ὑπὲρ λόγον τὸν Λόγον
Θεοῦ Ὑψίστου, προσδέχου σοῦ δούλου
πανευμενῶς τοῦ ζητοῦντος τὴν χάριν σου
καὶ ἀνυμνοῦντος εὐλαβῶς
τὸν Υἱόν σου καὶ Κτίστην τοῦ σύμπαντος.

Διάσωσον,
ἀπὸ κινδύνων, Ματρώνα, τοὺς σὲ τιμῶντας
ὡς νεόφωτον ἀρετῶν παντοίων ἀπαύγασμα
καὶ ἄστρον πρὸς στένοντας συμπαθείας.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα,
δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τὴν δυναμένην τοῦ Πνεύματος χάριτι
προβλέπειν πάντα ἐσόμενα μέλψωμεν,
Ματρώναν, Ῥωσίας ἀγλάϊσμα,
ὡς γυναικῶν θεαυγῶν ἰσοστάσιον
καὶ κόσμου μεσίτριαν ἔνθερμον.

Προκείμενον. Ἦχος δ΄. Ὑπομένων ὑπέμεινα
τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας
μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον κατὰ Μάρκον
(Κεφ. η΄ 34- θ΄ 1).

Εἶπεν ὁ Κύριος· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν·

ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Ζήτει τῇ Κυριακῇ μετὰ τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ.

Δόξα. Ταῖς τῆς Σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον,...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ

τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὴν παραμυθήσασαν
ἐμπεριστάτων χορείας
Ῥώσων ἐν τοῖς ἔτεσι
τοῖς ἐσχάτοις μέλψωμεν
ὕμνοις πρέπουσι
τοῦ Θεοῦ χάριτι,
θεαυγῆ Ματρώναν,
τὴν ἀόμματον ἀσκήτριαν,
ἥσπερ ὁ Κύριος
τῆς ψυχῆς τὰ ὄμματα ἤνοιξεν
ὁρᾶν τὰ ἐν τῷ μέλλοντι
καὶ τῶν καρδιῶν τὰ ἐνδότερα
καὶ ἐν κατανύξει
κραυγάσωμεν· διάνοιξον ἡμῶν
ψυχῶν εὐχαῖς σου τὰ βλέφαρα
βλέπειν τὰ σωτήρια.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἡ ἐν κόσμῳ ὁσίως
καὶ ἀμέμπτως τὸν βίον
ἐκδαπανήσασα,

Ματρώνα, καὶ ἀρθεῖσα
πρὸς δόμους ἀφθαρσίας,
μὴ ἐλλίπῃς ἑκάστοτε
ὑπὲρ τῶν σῶν ἱκετῶν
πρεσβεύουσα Κυρίῳ.

Μῆτερ πνευματοφόρε,
τῆς Ῥωσίας, Ματρώνα,
τὸ νέον σέμνωμα,
ἐπάκουσον φωνῆς μου
δεήσεως καὶ ῥῦσαι
συμφορῶν καὶ κακώσεων
καὶ τῆς γεέννης πυρὸς
τὸν καταφεύγοντά σοι.

Οὐρανόφωτος στήλη
ταπεινώσεως, μῆτερ,
εὐχῆς καὶ νήψεως
ἐπώφθης, ἐκ κοιλίας
μητρὸς προορισθεῖσα
καταυγᾶσαι πυρσεύμασιν
σῶν διδαχῶν τὸν λαὸν
ἐν ἀθεΐας χρόνοις.

Θεοτοκίον.

Ὑπερύμνητε Μῆτερ,

σὴν ἁγίαν εἰκόνα
ὡς ὅλβον ἄσυλον
ἐπονομαζομένην,
ἁμαρτωλῶν ἁπάντων
σωτηρία, ἡ πάνσεπτος
Ματρώνα ἔσχεν παντὶ
ἐν βίῳ, Θεοτόκε.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Δακρυῤῥοοῦντες
τὰς σὰς λιτὰς ἐκζητοῦμεν
οἱ ἐν θλίψεσιν ὄντες, Ματρώνα,
πρὸς τὸν σὸν Νυμφίον
καὶ Λυτρωτὴν τοῦ κόσμου.

Ἴσθι ἀκέστωρ
τῶν σὲ ὑμνούντων, Ματρώνα,
ταπεινώσεως ὡς μυροθήκην
καὶ δοχεῖον πλῆρες
ὑπομονῆς ἐν βίῳ.

Ἁγίων νέων
συνηριθμήθης χορείαις,
μεθ' ὧν χαίρῃ ἀπαύστως ἐν πόλῳ
καὶ Χριστῷ πρεσβεύεις
ὑπὲρ ἡμῶν, Ματρώνα.

Θεοτοκίον.

Λειμὼν εὐώδης,
Μῆτερ Θεοῦ, παρθενίας
καὶ ἡδύπνοος κῆπος ἁγνείας
πέλουσα, σοὺς δούλους
καθήδυνον ὀδμαῖς σου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὑπὲρ τῶν σὲ τιμώντων
καὶ ἀσπαζομένων
ἐν τῇ μονῇ θείας Σκέπης σὰ λείψανα,
Χριστὸν δυσώπει, Ματρώνα, τὸν σὲ δοξάσαντα.

Στηρίζουσα μὴ παύσῃ,
στῦλε τῆς Ῥωσίας,
τοὺς κλονουμένους, Ματρώνα, ἑκάστοτε
εὐχῶν σου ῥάβδῳ πρὸς Κτίστην τὸν πανεὶλατον.

Ὀρθοφρονούντων πάντων
Ῥώσων ἀντιλῆπτορ,
Ματρώνα, πλάνης ὁμίχλην ἐκδίωξον
καὶ τὴν ἀχλὺν τὴν ζοφώδη λῦσον αἱρέσεων.

Ναὲ χρηστοηθείας
πάγχρυσε, Ματρώνα,

ναοὺς ἡμᾶς ἐγρηγόρσεως, πάντιμε,
δεῖξον τοὺς μνήμην τιμῶντας σὴν ἀεισέβαστον.

Θεοτοκίον.

Χαρίτων θεοσδότων,
Κεχαριτωμένη,
ἁγνὴ Παρθένε, ταμεῖον ἀσύλητον,
τοὺς σὲ γεραίροντας πόθῳ ἀεὶ χαρίτωσον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις, τῶν ἐν κόσμῳ ἀσκητριῶν
καύχημα, Ματρώνα,
τῶν ἀσκήσει θεοτερπεῖ
ἀρετῶν εἰς ὕψος
καταντησάντων μέγα,
νεόφυτον Ῥωσίας
ἄνθος ἡδύπνοον.

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς
σοῦ ταῖς ἱκεσίαις
πρὸς τὸν Κύριον Ἰησοῦν,
σὸν σεπτὸν Νυμφίον
ἐν οὐρανοῖς, Ματρώνα,
συντήρει ἐπηρείας
πλάνου ἀπήμονας.

Χαίροις, διοράσεως ὁ κανών,
χαίροις, ἡ ἀκρότης
τῆς ἐν βίῳ ὑπομονῆς,
χαίροις, τῆς Ῥωσίας
ὁ ὄγδοος ὁ στῦλος,
Ματρώνα θεοφόρε,
πίστεως πρόβολε.

Χαίροις, ἡ ἀόμματος ἐκ γαστρὸς,
ἡ χαριτωθεῖσα
Παρακλήτου αὔραις τερπναῖς,
χαίροις, συμπαθείας
πρὸς πάσχοντας, Ματρώνα,
καὶ πρὸς ἐμπεριστάτους
στῦλος ἀκράδαντος.

Δίδου τοῖς τιμῶσί σε ἀκλινῶς,
εὐκλεὲς Ματρώνα,
ἐν τῷ βίῳ ὑπομονὴν

καὶ ἰσχὺν πατῆσαι
τὸ φρύαγμα τοῦ πλάνου,
ἡ στέρησιν ὀμμάτων
καθυπομείνασα.

Φῶς τὴν στερηθεῖσαν ἐκ γενετῆς
ὀφθαλμῶν, Ματρώναν,
εὐφημήσωμεν εὐλαβῶς
ὡς πνευματοφόρων
ἀσκητριῶν Ῥωσίας
ἀγλάϊσμα τὸ νέον
καὶ σκεῦος χάριτος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀδιάσειστον στῦλον Ῥωσίας ὄγδοον,
τὴν στερουμένην ὀμμάτων
ἐκ γενετῆς, εὐλαβῶς

ἀνυμνήσωμεν Ματρώναν τὴν ἀοίδιμον,
ὡς σκεῦος θείων δωρεῶν
καὶ ἀγάπης ἀκραιφνοῦς
πρὸς πάντας ἐμπεριστάτους
βοῶντες· σκέδασον ζόφον
παθῶν ἡμῶν φωτὶ σῆς χάριτος.

Ἐκτενὴς καὶ Ἀπόλυσις,
μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Πάντων ἐν ἐσχάτοις τοῖς καιροῖς
κεκλεισμένων, μῆτερ, ἐχόντων
τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς
καὶ αὐτῆς συμφέροντα,
Ματρώνα πάνσεμνε,
παρορόντων διάνοιξον
καὶ δεῖξον τὴν τρίβον
πρὸς ζωὴν ἀπάγουσαν
τὴν αἰωνίζουσαν
τοῖς εἰλικρινῶς σε τιμῶσιν
ὡς Ῥωσίδος πάνσεπτον γόνον
καὶ ταμεῖον χάριτος ἀκένωτον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχα.

Ματρώνα, ἄνοιξον ὀφθαλμούς μου βλέπειν
ψυχῆς τὸ συμφέρον, βοᾷ Χαραλάμπης.

Φιλοθέου διάνοιξον ἔτι κόρας
ψυχῆς, Ματρώνα, ὁρᾶν ἀγήρω μόνον.

ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ

ΗΜΩΝ

ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

Εἰς τὴν Ὁσίαν καὶ Θεοφόρον Μητέρα ἡμῶν ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΑΟΜΜΑΤΟΝ

Τὴν ἐν κόσμῳ ἀσκήσασαν ἐπ' ἐσχάτων ἐν Ρωσίᾳ

Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

«Νοός μου λῦσον τὴν ἀχλὺν Ματρώνα φωτοφόρε,
ἵνα ὑμνήσω ἱκανῶς τὰς σὰς θαυματουργίας».

Ἀπολυτίκιον. Ἦχος πλ.δ΄. Τό προσταχθέν.

Τῶν ὀφθαλμῶν ἐκ παιδὸς ἐστερημένη, καὶ τῇ ψυχῇ ὡς χρυσὸς λελαμπρυσμένη, ἐν τῷ κόσμῳ ἐκφαίνεις Φῶς Χριστοῦ Ματρώνα· Ῥωσίαν καθιλαρύνουσα θαυμαστῶς, καὶ πᾶσαν τὴν οἰκουμένην πανευπρεπῶς· καταυγάζουσα χάρισιν, ἃς ἐν αἰσίαις φωναῖς, κηρύττοντες βοῶμεν σοι· Χαίροις στῦλε ὁλόφωτε.

Κοντάκιον. Ἦχος πλ.δ΄. Τῇ ὑπερμάχῳ.

Τῆς εὐλογίας τὴν πηγὴν τὴν χαριτόβρυτον, καὶ ἰαμάτων

τὸν κρουνὸν τὸν πολυχεύμονα, τὴν ἐμπλήσασαν ἐν νάμασιν ἀκενώτοις· ἐπ' ἐσχάτων γῆν Ῥωσίας ἣν ἐφαίδρυνεν· τὴν Ματρώναν ἐν αἰνέσει μεγαλύνωμεν· ταύτῃ λέγοντες· Χαίροις στῦλε ὁλόφωτε.

Ἄξιόν σε δοξάζειν ἀπαύστως ἀξιῦμνητε Μῆτερ, Ματρώνα τῆς Ῥωσίας ἡ δόξα (γ΄)*
διὸ ἐν ἄσμασι θεοτερπέσι τὴν ἀξιάγαστόν σου πολιτείαν ᾄδομεν καὶ τὰς ἀριστείας σου γεραίρομεν, οὕτω βοῶντες·
Χαίροις τῆς Μόσχας ἡ εὐκοσμία·
Χαίροις τῶν Ῥώσων ἡ κληρουχία.

Χαίροις εὐσεβείας ὁ πανίερος οἶκος·
Χαίροις τῆς ἁγνείας ὁ ὁλόφωτος λύχνος.

Χαίροις τῶν Μητέρων ἐξαίσιον ἄκουσμα·
Χαίροις ἀσκουσῶν ἐν τῷ κόσμῳ ὡράϊσμα.
Χαίροις πολιτείαν θείαν ἡ ζηλώσασα Ἀγγέλων·
Χαίροις τὰς σεπτὰς χορείας ἡ σεμνύνασα παρθένων.

Χαίροις χαρισμάτων πάντων ὁ ἀνάπλεως κρατήρ·
Χαίροις νόσων πολυτρόπων συμπαθέστατος λυτήρ.

* Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χαίροις ἡ φωταγωγοῦσα τὰς πορείας τῶν πιστῶν·
Χαίροις ἡ μυσταγωγοῦσα πρὸς σκηνώσεις οὐρανῶν.

Χαίροις στῦλε ὁλόφωτε.

Βαίνουσα ἀπροσκόπτως τοῦ Κυρίου τὴν τρίβον, Ματρώνα φωτοφόρε, εἰς πόλιν ἐπέφθασας τήν ἄνω ἀξίως. Ἔνθα Ἀγγέλων συνοικεῖς τοῖς τάγμασι καὶ κάλλεσι παρθενικοῖς κεκοσμημένη, βοᾷς ἀπαύστως σύν αὐτοῖς τῷ Βασιλεῖ τῶν ὅλων, ὕμνον·

Ἀλληλούϊα.

Γέγηθε εὐφροσύνως ἡ μεγάλη Ῥωσία, πλουτοῦσα σε ὡς ἄσειστον στῦλον, ἐν βίου ταῖς δονήσεσι πάσαις, καὶ ὡς θερμὴν προστάτιδα ἐν περιστάσεσι δειναῖς Ματρώνα. Διὸ καὶ στέφανον ἐξ ἐγκωμίων πλέκουσα, φωνεῖ σοι εὐφροσύνως τάδε·
Χαίροις ἡ στάθμη τῆς ἐγκρατείας·
Χαίροις τὸ μέτρον τῆς ἀπαθείας.

Χαίροις ἀρετῶν ἐνθέων καθαρώτατον σκήνωμα·
Χαίροις τοῦ Θεοῦ τῶν ὅλων ὑψηλότατον δώρημα.

Χαίροις τῆς θεογνωσίας χαριτόβρυτος πηγή·
Χαίροις τῶν πιστῶν ἐν ζάλαις συμπαθὴς καταφυγή.

Χαίροις ἔαρος τοῦ θείου χελιδὼν ἡ τιμία
Χαίροις πίστεως ἁγίας ἀηδὼν ἡ γλυκεία.

Χαίροις τῷ Πατρί τῶν Φώτων ἡ ἀπαύστως ὁμιλοῦσα·
Χαίροις ἐν φωτὶ ἀΰλῳ τοὺς πιστοὺς ἡ ὁδηγοῦσα.

Χαίροις τῆς φιλοθεΐας πολυέραστος παστάς·
Χαίροις τῆς χρηστοηθείας ἡ ἀείφωτος λαμπάς.
Χαίροις στῦλε ὁλόφωτε.

Δάκρυσιν ἐγκρατείας κατασπείρασα Μῆτερ καρδίας σου τὴν γῆν φιλοπόνως, ἐθέρισας δραγμάτων τὸν πλοῦτον, ψυχῆς ἀγαλλιάσει Ματρώνα. Καὶ ταῦτα προσκομίσασα τῷ οὐρανίῳ γεωργῷ ὃν ἔστερξας, ἐπάξιον ἐδέξω στέφανον, αἰνοῦσα σὺν Ἀγγέλοις καὶ βοῶσα·
Ἀλληλούϊα.

Ὄπαρσιν τῶν δαιμόνων καθελοῦσα τελείως ἀψεύστῳ ταπεινώσει Ματρώνα, ὑψώθης εἰς τὰ ἄῤῥητα ὕψη, ἔνθα ὑμνεῖς τὸν ὑπερύμνητον Λόγον, τὰ θεῖα κατοπτεύουσα κάλλη. Διό σε

ταπεινῇ καρδίᾳ μέλποντες, ἐν λόγοις ὑψηγόροις ἐκφωνοῦμεν τάδε·
Χαίροις ταμεῖον ἀγαθωσύνης·
Χαίροις ὁ πλοῦτος τῆς σωφροσύνης.
Χαίροις ἀγάπης Θεοῦ τὸ σκεῦος·
Χαίροις ἐλπίδος χρηστῆς τὸ μέτρον.

Χαίροις ἡ καθαρωτάτη τῇ ψυχῇ ὡσεὶ χιών·
Χαίροις ἡ λελαμπρυσμένη τῇ καρδίᾳ ὡς χρυσός.

Χαίροις θείων θελημάτων ἡ βαδίσασα ὁδόν·
Χαίροις ἐντολὰς ἁγίας ἡ διδάξασα λαόν.

Χαίροις ἡ ἐστερημένη τῶν ὀμμάτων ἐκ παιδός·
Χαίροις ἡ τετιμημένη ἐκ Θεοῦ πολυειδῶς.

Χαίροις τῷ Θεῷ τῶν Ὅλων ἡ τιμία προσφορά·
Χαίροις τῶν τυφλῶν σεμνότης καὶ φωτόμορφος χαρά.

Χαίροις στῦλε ὀλόφωτε.

Ζόφον τῆς ἀγνωσίας καταλείψασα ὅλως, ἐπλήσθης φωτισμοῦ ἀπροσίτου, καρδίας σου καθάρασα κόρας· καὶ τοῦ νοὸς τὸ ὄμμα αὐγασθεῖσα ἱλαρῶς Ματρώνα μακαρία, Αὐτοῦ τὸ θεῖον Ὄνομα ἐδόξαζες, ἀπαύστως τὴν ᾠδὴν προσάγουσα καὶ μελῳδοῦσα·

Ἀλληλούϊα.

Ἤσκησας ἐν τῷ κόσμῳ ἐν ἐσχάτοις τοῖς χρόνοις, Ἀγγέλων πολιτείαν ζηλοῦσα Ματρώνα τῆς Ῥωσίας τερπνότης· καὶ ὡς πολύλαμπρος λαμπάς, τῆς ἀληθείας φῶς μετέδωκας τῇ κτίσει. Ὁμίχλην μὲν παθῶν σκεδάζουσα ἐν χάριτι, ἡμᾶς δὲ συγκαλοῦσα τοῦ κραυγάζειν ταῦτα·

Χαίροις Ὁσίων ἡ κοσμιότης·
Χαίροις τοῦ κόσμου φαιδρὰ λαμπρότης.

Χαίροις ταπεινοφροσύνης ἡ ἀμείωτος σφραγίς·
Χαίροις θεορρήμοσύνης ἡ ἡδύλαλος χορδή.

Χαίροις θείας συμπαθείας ἡ ἀείῤῥυτος πηγή·
Χαίροις κρήνη ἰαμάτων παύουσα αὐχμόν ψυχῆς.

Χαίροις ἡ διατρανοῦσα τὰς ἐνθέους δωρεάς·
Χαίροις ἡ κληρονομοῦσα τῆς Ἐδέμ τὰ ἀγαθά.
Χαίροις τοῦ ἡλίου σέλας ἡ ὁρῶσα καθαρῶς·
Χαίροις λύχνος πρὸς τὸν πέλας ἡ φωτίζουσα ἁγνῶς.
Χαίροις ἐν καλῇ ἀσκήσει ἡ ἐμπρέψασα ἀξίως·
Χαίροις ἡ ἐν τῇ Ῥωσίᾳ ἀριστεύσασα τιμίως.
Χαίροις στῦλε ὁλόφωτε.

Θρήνων πολλῶν ἐπλήσθη ἡ δαιμόνιος φάλαγξ καὶ τάξεις τῶν Ἀγγέλων σκιρτῶσιν ἐν σοὶ

σημειοφόρε Ματρώνα. Τὸν τύπον γὰρ τὸν τοῦ Σταυροῦ ἐν τῷ μετώπῳ σου χαράττουσα συχνάκις, ἀσάρκους ἐτροπώσω δυσμενεῖς καὶ ἔθραυσας εἰς τέλος. Ἡμᾶς δὲ κραταιῶς συνήγαγες καὶ ἀνορθοῖς εἰς ὕψος οὐρανοῦ, τοῦ ψάλλειν παραινοῦσα ὁμοφώνως·

Ἀλληλούϊα.

Ὕθυνας πρὸς τὰς τρίβους τοῦ Θεοῦ τὰς εὐθείας, τῶν Ῥώσων τὸν λαόν ἐπ' ἐσχάτων, Ματρώνα ταῖς σοφαῖς προτροπαῖς σου. Καὶ πάντας εὐλογεῖν Θεὸν ἐδίδασκες ἐν λόγοις καί βίῳ ἀκαταγνώστῳ· ἵνα αὐτοῦ τὸ θέλημα γινώσκοντες, τὸ ἔλεος τὸ μέγα ὁμολογῶμεν καὶ σοὶ συμφώνως κατά χρέος ἀναφωνῶμεν τάδε·
Χαίροις γενναία ἐν τῇ ἀσκήσει·
Χαίροις ἀνδρεία ἐν τῇ ἐνστάσει.

Χαίροις προσευχῆς καμάτους ἡ καλῶς ἐργασαμένη·
Χαίροις ἀρετῆς ὡς τύπον ἑαυτὴν παρεχομένη.

Χαίροις θείαν ἁρμονίαν τῇ ψυχῇ ἐνηχουμένη·
Χαίροις δόξαν οὐρανίαν τοῖς λαοῖς διηγουμένη.

Χαίροις ἄνωθεν εἰρήνης ἡ καλὴ περιστερά.
Χαίροις τῷ Θεῷ δοθεῖσα ὡς καλλίστη προσφορά.

Χαίροις τοῦ Ἀρχιποιμένος ἡ εὐπρόσδεκτος ἀμνάς·
Χαίροις θείων βουλευμάτων ἡ ταχύδρομος δορκάς.

Χαίροις χάριτας πλουσίας ἡ προχέουσα ἐν πᾶσι·
Χαίροις θαύματα ποικίλα ἡ τελοῦσα καθ' ἑκάστην.

Χαίροις στῦλε ὁλόφωτε.

Κάρπωμα τῷ Κυρίῳ, προσφορά τε τελεία γεγένησαι θεόφρον Ματρώνα. Θυσία γὰρ ὡς λογικὴ Αὐτῷ προσήνεξαι, ἀγάπης ἐντολήν ἀποπληροῦσα· καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ὁλοπόθως ἄρασα, ὀπίσω Τούτου ἠκολούθεις, εὐχὰς ἀπὸ ψυχῆς καὶ ὕμνον καθαρόν προσάγουσα καὶ μελῳδοῦσα·

Ἀλληλούϊα.

Λόγοις σου θεοσόφοις τὸν λαὸν τῆς Ῥωσίας ἐστήριξας ἐν θλίψεως χρόνοις, Ματρώνα ὡς θεράπαινα θεία· ἐλπίδι μὲν καὶ πίστει πάντας κραταιώσασα καί τῇ ἀγάπῃ ἐν ἐλέει παραμυθοῦσα. Διό σε νῦν ᾠδαῖς χαριστηρίοις καταστέφομεν, ἐν ἀδιστάκτῳ πίστει τοιάδε ἀναφωνοῦντες·
Χαίροις Ἀγγέλων ἡ θυμηδία·
Χαίροις πενήτων παραμυθία.

Χαίροις Σταυρωθέντος Χριστοῦ τὸ φωτάναμα·
Χαίροις Ἀναστάσεως θείας ἀπαύγασμα.

Χαίροις ὅτι ἠκολούθησας τῷ Κυρίῳ ἀκλινῶς·
Χαίροις ὅτι κατεφίλησας Τούτου νόμον ἱερόν.

Χαίροις ἡ ἀκουτισθεῖσα Παραδείσου τὰς φθογγάς·
Χαίροις ἡ ἐνωτισθεῖσα τῶν Ἀγγέλων τὰς ᾠδάς.

Χαίροις τῆς σεμνοπρεπείας ἡ ἀτίμητος εἰκών·
Χαίροις ἄνω φωταυγείας φαιδροτάτη λαμπηδών.

Χαίροις ἡ πεποικιλμένη χάρισι τῶν ἀρετῶν·
Χαίροις ἡ κατεστεμμένη διαδήματι λαμπρῷ.
Χαίροις στῦλε ὁλόφωτε.

Μάρτυς τῇ συνειδήσει ἀνεδείχθης μεγάλη, Ματρώνα, ὡς βαστάσασα ἀνδρείως, τὰς θλίψεις ἃς ἐδέξω Θεοῦ εὐδοκίᾳ. Σταυρὸν γὰρ τῆς τυφλώσεως ὑπέμεινας ἐκ βρέφους προθέσει σου ἀγογγύστῳ, μελῶν τε ὕστερον παράλυσιν, ἀκλόνητον τηρήσασα σὴν καρδίαν. Καὶ πόδας σου ἐρείσασα τῷ Εὐαγγελίῳ, ἀκαταπαύστως τῷ Θεῷ ὕμνον ἐξύφανας σὺν Ἀγγέλοις ᾄδουσα·
Ἀλληλούϊα.

Πάμασιν εὐσεβείας ὥσπερ ἔλαφος θεία προσέδραμες Ματρώνα Ὁσία. Καὶ τῇ πηγῇ τῆς ζωῆς, Χριστῷ ὁλοτελῶς ἐγγίσασα, ἐξέπιες τρυφῆς χειμάῤῥουν καθὼς ἐπόθεις, τὴν δίψαν σου ψυχῆς κατασβεννύοντα καὶ χαρμονὴν παρέχοντά σοι ἄῤῥητον. Διό σοι φωναῖς αἰσίαις πάντες, πανευφροσύνως ταῦτα βοῶμεν·
Χαίροις ἰάτειρα τῶν ἐν νόσοις·
Χαίροις ἐπίκουρος τῶν ἐν πόνοις.

Χαίροις ἀσκουμένων πάντων θεσπεσία καλλονή·
Χαίροις μάλα ἀγωνιζομένων ἡ γλυκεία χαρμονή.

Χαίροις τῶν ἐν σκότει καθημένων φῶς τὸ πάνυ ἱλαρόν·
Χαίροις τῶν ἐν τῇ σκιᾷ θανάτου σάλπισμα τὸ κραταιόν.

Χαίροις τῆς σκληραγωγίας ἡ ἀκράδαντος κρηπίς·
Χαίροις ἡ τῆς ἀγρυπνίας ἀδιάλειπτος εὐχή.

Χαίροις καταπονουμένων ἡ βοήθεια ἐν τάχει·
Χαίροις τῶν ἀπηλπισμένων παραμύθιον ἐν πᾶσι.

Χαίροις τῆς ὁμολογίας ἡ πανεύηχος φωνή·
Χαίροις τῆς στρατολογίας τοῦ Θεοῦ ἡ ἐκλεκτή.
Χαίροις στῦλε ὁλόφωτε.

Ξίφος κατὰ δαιμόνων τὸ ὀξύτατον πέλεις Ματρώνα τῇ στερρᾷ σου ἀσκήσει. Καὶ γὰρ ὡς ἄσαρκος ἐν γῇ διάγουσα, νηστείαις καὶ ἀγρυπνίαις καὶ πάσῃ ἄλλῃ κακοπαθείᾳ, ταπείνωσιν βεβαίαν ἐκτήσω Μῆτερ. Διὸ καὶ πάθη τῆς σαρκὸς νεκρώσασα, ζωὴν τὴν αἰωνίζουσαν ἐκληρώσω, Χριστῷ τῷ ἐκ τοῦ τάφου ἐξαναστάντι ἀναβοῶσα·
Ἀλληλούϊα.

Ὄμματα τῆς σαρκός σου αἰσθητὰ στερηθεῖσα, καὶ ἔχουσα κλεισθείσας τὰς κόρας, Ματρώνα φωτοφόρος ἐγένου. Χριστὸν γὰρ νοερῶς τὸν Φωτοδότην ἐνοπτρίζου ψυχικοῖς σου ὄμμασι, Αὐτοῦ τὰ κάλλη κατανοοῦσα. Διό σε ἐγκωμίων κάλλεσι δοξάζομεν, ἐν καθαρῷ δὲ συνειδότι ταῦτα λαλοῦμεν·
Χαίροις βολὶς ἀκραιφνοῦς ἀνταυγείας·
Χαίροις πυξὶς ἀσφαλοῦς σωτηρίας.

Χαίροις χοροὺς Ἀγγέλων ζηλώσασα·
Χαίροις φρονίμων παρθένων ὑπόδειγμα.

Χαίροις τῶν ἐνασκουμένων λαμπροτάτη κορωνίς·
Χαίροις τῶν προσευχομένων ἀδαπάνητος τρυφή.

Χαίροις ἀγαθῶν ἀΰλων ἡ δεικνύουσα ὁδόν·
Χαίροις τῆς Ἐδέμ τὸ κάλλος καὶ ὁ μείζων θησαυρός.

Χαίροις θείων ἀθλημάτων ὑποθήκη ἱερά·
Χαίροις τῶν πιστῶν προστάτις καὶ ἀνείπωτος χαρά.

Χαίροις ἡ ἀκολουθοῦσα τῷ Κυρίῳ εὐπειθῶς·
Χαίροις ἡ ἐφεπομένη ἴχνεσι ἀσκητριῶν.
Χαίροις στῦλε ὁλόφωτε.

Πύργος τῆς εὐσεβείας ἀκαθαίρετος οὖσα καὶ στῦλος ἀῤῥαγὴς τῆς Ῥωσίας, ἐστήριξας λαόν σου Ματρώνα, τὸν πάσχοντα ὑστέροις ἐν χρόνοις τὰ πάνδεινα ἐξ ἡγεμόνων ἀθέων. Ἀεὶ δὲ τὴν εὐφρόσυνον παρέχεις ἀγαλλίασιν καὶ βεβαιοῖς ἐν χάριτι καρδίας πάντων, τοῦ ψάλλειν σοι δὲ παραινεῖς ἡμᾶς ἀνεμποδίστως τὴν ᾠδήν·
Ἀλληλούϊα.

Ῥάβδον τε καὶ βακτηρίαν τὸν Πανάγιον Σταυρὸν κεκτημένη, Ματρώνα, εὐθυπόρως διῆλθες

τοῦ βίου στενωπὸν τὴν τραχεῖαν, ἀπάγουσαν Ἐδέμ σε εἰς πλάτος, ἔνθα Ἀγγέλων ἀσωμάτοις χορείαις καὶ τῶν Ἁγίων ὁμηγύρεσι συναγάλλει. Ἡμεῖς δὲ ἀγαλλομένῃ σε καρδίᾳ αἰνοῦμεν, μιᾷ νῦν φωνῇ ἀναφθεγγόμενοί σοι τάδε·
Χαίροις ἐφάμιλλε τῶν Ἀγγέλων·
Χαίροις ὁμόσκηνε τῶν δικαίων.

Χαίροις σὴν καρδίαν δοῦσα ὁλοπόθως τῷ Δεσπότῃ·
Χαίροις τῆς Αὐτοῦ ἀγάπης ἡ δεχθεῖσα ἀντιδόσεις.

Χαίροις παραλύτῳ ῥῶσιν ὡς προεῖπας ἡ διδοῦσα·
Χαίροις τὰς ψυχὰς ἐκ πλάνης τοῦ ἐχθροῦ ἡ ἀνορθοῦσα.

Χαίροις προσευχῆς καμάτους ἡ ἀεὶ ἐργαζομένη·
Χαίροις τὸν μισθὸν ἀξίως εἰς αἰῶνας δρεψαμένη.

Χαίροις τοῦ Σταυροῦ τὸν τύπον σῷ μετώπῳ σημειοῦσα·
Χαίροις Σταυρωθέντος φίλτρον ἐν καρδίᾳ σου κρατοῦσα.

Χαίροις θαύματα ποικίλα ἡ προχέουσα ἀπαύστως·

Χαίροις θείας εὐλογίας ἡ πηγάζουσα ὡσαύτως.
Χαίροις στῦλε ὀλόφωτε.

Σέμνωμα Ῥωσίας πέλει, ἡ πανίερος εἰκὼν
τῆς ἀειπαρθένου Κόρης, ἣν ὀνείρατι ἑώρας
καὶ ἐφρόντισας ποιεῖσθαι ὦ Ματρώνα θαυ-
μαστή. «Ἀναζήτησις ἀπολωλότων» ὡς ὀρθῶς
ἐπωνομάσθη, ἐπανάγει τοὺς φθαρέντας εἰς
ζωὴν τὴν ἀληθῆ, θαύματα πηγάζει πλεῖστα, λύει
γῆς δεινὸν αὐχμόν· ταῖς ψυχαῖς δὲ ἐπιῤῥαίνει
ὄμβρον χάριτος χρηστῆς καὶ τοῦ μελῳδεῖν
προτρέπει πάντας τῷ Θεῷ ᾠδήν·
Ἀλληλούϊα.

Τάφος σου καθώς προεῖπας, Νεῖλος ὥσπερ
νοητός, ἀπαντλεῖ ἀδιακόπως τῶν θαυμάτων
δωρεὰς καὶ χαρίτων πολυτρόπων μυριάριθμον
πληθύν. Ταῦτα τῶν πιστῶν χορεῖαι εὐλα-
βούμενοι ἀεί, καὶ θερμῶς κατανυγέντες ὦ
Ματρώνα τῇ ψυχῇ, ὕμνον πλέκομεν ἐκ πόθου
καὶ βοῶμεν ἐκτενῶς·
Χαίροις Ῥωσίας ἁπάσης σεμνότης·
Χαίροις Χριστοῦ Ἐκκλησίας ἀκρότης.

Χαίροις χρόνων τῶν δυστήνων ὁ παρήγορος
αὐλός·
Χαίροις πόνοις θλιβομένων ἡ βεβαία ἀρωγός.

Χαίροις ὄγδοος Ῥωσίας στῦλος πάντας πίστει ἑδραιώνων·
Χαίροις μέλλοντος αἰῶνος τοῦ ὀγδόου κληρονόμος.

Χαίροις ἄστρων οὐρανίων ὑπερβαίνουσα στολήν·
Χαίροις φῶς τοῦ ἀναστάντος ἡ ἀστράπτουσα αὐγή.

Χαίροις κόρας τῆς ψυχῆς σου αὐγασθεῖσα καθαρῶς·
Χαίροις χάριν θεαρέστων ἡ διδοῦσα δωρεῶν.
Χαίροις ἡ δοκιμασθεῖσα ὡς χρυσὸς ἐν τῷ πυρί·
Χαίροις ἡ πλουτισαμένη ὄλβον τῆς ὑπομονῆς.
Χαίροις στῦλε ὁλόφωτε.

Ὕβρεις πάσας ὁμηλίκων καὶ τὰ σκώμματα αὐτῶν καὶ ὀνείδη ἐκαρτέρεις ὦ Ματρώνα ἀνδρικῶς, παιδιόθεν κεκλεισμένους ἔχουσα τοὺς ὀφθαλμούς, ἀγογγύστως πολιτείαν μετελθοῦσα τοῦ Ἰώβ. Τῷ σῷ οἴκῳ δὲ κλεισθεῖσα ἐν πολλῇ ὑπομονῇ, τὰς εὐχὰς Θεῷ ἐδίδως εὐχαρίστῳ σου φωνῇ, κράζουσα ἀπὸ βαθέων τῆς καρδίας τὴν ᾠδήν·

Ἀλληλούϊα.

Φόβον τοῦ Θεοῦ πλουτοῦσα τὸν ἁγνότατον σεμνή, ἐν Ναῷ προσεκαρτέρεις καί ἐδόξαζες Αὐτόν, ὦ Ματρώνα παιδιόθεν, ἀλαλήτοις προσευχαῖς. Καὶ ἡμεῖς συναθροισθέντες ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τὴν Αὐτοῦ μεγαλωσύνην εὐλογοῦμεν ἐκτενῶς καὶ φωναῖς ἐν ἐξαισίαις σοί φθεγγόμεθα πιστῶς·
Χαίροις τὸ μέτρον τῆς καρτερίας·
Χαίροις τὸ ὕψος τῆς εὐψυχίας.

Χαίροις ἡ προσκαρτεροῦσα εἰς Κυρίου τὰς αὐλάς·
Χαίροις ἡ καλῶς συνοῦσα τὰς Αὐτοῦ θείας βουλάς.

Χαίροις ἡ παρισταμένη ταῖς ἀνάγκαις τῶν πιστῶν·
Χαίροις ἡ ἀκροωμένη τῶν δεήσεων αὐτῶν.

Χαίροις κτίσιν ἡ ἰδοῦσα ἅπαξ μόνον τῇ ὁράσει·
Χαίροις κάλλη οὐρανίων ἡ ὁρῶσα ἐν ἐκστάσει.

Χαίροις λόγων θεοπνεύστων ὁ ἀνάπλεως κρατήρ·
Χαίροις ζάλαις κλονουμένων ἀκλυδώνιστος λιμήν.

Χαίροις οἰκουμένης πάσης ἡ καλλίστη εὐλογία·

Χαίροις ἡ Θεῷ βοῶσα σὺν Ἀγγέλοις ὑμνῳδίαν.
Χαίροις στῦλε ὁλόφωτε.

Χώρα πᾶσα τῆς Ῥωσίας σὲ τιμᾷ πανευλαβῶς καὶ προστρέχουσι σῷ τάφῳ πλήθη ἐκ περάτων γῆς, ἄνθη φέροντες Ματρώνα, σοὶ εὐώδους ἐκ λειμῶνος. Καὶ ἡμεῖς ἀξιοχρέως τῶν ἀνθέων ὡς ὀσμήν, ὕμνον τόνδε ἐγκωμίων φέρομέν σοι εὐπρεπῶς, πρεσβειῶν σου ἐκζητοῦντες ταπεινῶς τὰς ἀντιδόσεις, ἵνα ὁμοφώνως πάντες, τῷ Θεῷ ὡς παντουργέτῃ προσαγάγωμεν ἐκ πόθου ὕμνον τὸν Ἀγγελικόν·

Ἀλληλούϊα.

Ψάμμον ἀληθῶς θαλάσσης ὑπερβαίνει ἡ πληθὺς τῶν θαυμάτων σου Ματρώνα, ἃ προχέεις καθ' ἑκάστην ἐκ σοῦ τάφου δαψιλῶς. Τὸ δὲ πέλαγος χαρίτων, αἷς σὲ ἔστεψε Χριστός, καταπλήττει διανοίας καὶ Ἀγγέλων καὶ βροτῶν. Συστησάμενοι χορείαν τὴν κοινὴν οὖν εὐπρεπῶς, φόρμιγγι λαμπρᾷ καρδίας κράζομεν ἐπαινετῶς·
Χαίροις τὸ ἄστρον τῆς Ἐκκλησίας·
Χαίροις ὁ φάρος τῆς εὐποιΐας.

Χαίροις ἡ λαμπαδουχοῦσα ἀνταυγείας τ' οὐρανοῦ·
Χαίροις πᾶσι δαδουχοῦσα Φῶς ἀνέσπερον Χριστοῦ.

Χαίροις ἡ δούλη πιστοτάτη τ' ἀγαθόν ἐργασαμένη·
Χαίροις θύγατερ Κυρίου τῇ ἀγάπῃ πληρουμένῃ.

Χαίροις ἡ ἐπευλογοῦσα τῶν πιστῶν τὸν ὁρμαθόν·
Χαίροις ἡ χαριζομένη ἀγαθότητος κρουνόν.

Χαίροις κρίνον τὸ κοσμῆσαν Ἐκκλησίας τὸν λειμῶνα·
Χαίροις ἡ καρποφοροῦσα εἰς Θεοῦ τὸν ἀμπελῶνα.

Χαίροις τῶν πιστῶν ταῖς χρείαις ἱσταμένη φιλοπόνως·
Χαίροις Ὕψιστον αἰνοῦσα εἰς αἰῶνας τῶν αἰώνων.
Χαίροις στῦλε ὀλόφωτε.

Ὦ Ματρώνα τιμία, τῆς Ῥωσίας τὸ κλέος καὶ πάσης οἰκουμένης λαμπρότης (γ΄)*
ἡ ὀφθαλμοῖς κεκλεισμένοις καὶ μέλεσι σαρκὸς παρειμένοις, ἐπὶ γῆς Χριστὸν δοξάσασα καὶ θαυμάτων παρ' Αὐτοῦ ταῖς χάρισιν ἀντιδοξασθεῖσα, ἱκέτευε Τοῦτον ἐκτενῶς ὑπέρ τῶν σὲ τιμώντων καὶ χαρμονικῶς σοι μελῳδούντων·
Ἀλληλούϊα.

---

* Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Καὶ αὖθις τό·

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῆς εὐλογίας τὴν πηγήν τὴν χαριτόβρυτον, καὶ ἰαμάτων τὸν κρουνὸν τὸν πολυχεύμονα, τὴν ἐμπλήσασαν ἐν νάμασιν ἀκενώτοις· ἐπ' ἐσχάτων γῆν Ῥωσίας ἣν ἐφαίδρυνεν· τὴν Ματρώναν ἐν αἰνέσει μεγαλύνωμεν· ταύτῃ λέγοντες· Χαίροις στῦλε ὁλόφωτε.

Πρὸ δὲ τοῦ Δι' εὐχῶν, τὸ ἀκόλουθον·

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Χριστοῦ τὸ ὄνομα, τὸ χαριέστατον, Ματρώνα ἔνδοξε, κατεμεγάλυνας, ὑπομονῇ σου καρτερᾷ, τυφλώσεως τῶν ὀμμάτων· ζήλῳ γὰρ ἐξήσκησας, ἀρετὰς ἐν τῷ βίῳ σου· πόνους ἐπεκούφιζες, θλιβομένων τοῖς λόγοις σου. Καὶ νῦν ἀπὸ τοῦ τάφου σου βλύζεις· πᾶσι τὸ πέλαγος θαυμάτων.

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΤΕΛΕΙΩΤΗι ΤΩΝ ΚΑΛΩΝ
ΑΠΑΝΤΩΝ ΔΟΞΑ, ΤΙΜΗ ΚΑΙ ΑΙΝΕΣΙΣ
ΕΙΣ ΤΟΥΣ ΑΤΕΛΕΥΤΗΤΟΥΣ ΑΙΩΝΑΣ
ΤΩΝ ΑΙΩΝΩΝ.
ΑΜΗΝ.

ΔΙΣΤΙΧΑ ΑΚΡΟΤΕΛΕΥΤΙΑ

Κάλλος Δεσπότου ἄφραστον ὁρᾶν ἀξίωσόν με
καὶ ἐμπλησθῆναι με φωτὸς ἀείφωτε Ματρώνα,
ἡ ὑπομείνασα ἐν γῇ ὀμμάτων σου τὸ σκότος,
δός μοι βοᾷ ἐν ὕμνοις σοι ἡ πένης Ἰσιδώρα.

Βαδίζειν δὲ εἰς ἀτραπὸν τῶν θείων θελημάτων
τὴν ἄγουσαν εἰς Οὐρανοῦ αὐλὰς ἐνίσχυσόν με,
ἡ καρτερήσασα στερρῶς παράλυσιν μελῶν σου,
συνεκβοᾷ Φιλόθεος Μονάζων τε καὶ Θύτης
λατρείαν ἄγων ἐν Ναῷ τοῦ θείου Γεωργίου
καὶ πάνυ εὐλαβούμενος τὴν ἔνδοξόν σου μνήμην.

Τῆς σωτηρίας τὴν ὁδὸν ὁμάλισον Ματρώνα,
πᾶσι τοῖς μελῳδοῦσι σε ἐν ὕμνοις ἐγκωμίων,
ἡ ἀγρυπνίαις, προσευχαῖς καὶ πάσῃ ἐγκρατείᾳ
ἀσκήσεως περάνασα τὴν εὐθυτάτην τρίβον,
ἵνα εὐχαῖς σου εὕρωμεν τὸ ἔλεος τὸ μέγα,
καὶ Βασιλείας τύχωμεν τῆς λαμπροτάτης πάντες,
Πατρί, Υἱῷ καί Πνεύματι ᾄδοντες σὺν Ἀγγέλοις,
ᾧ ἡ μεγαλοπρέπεια ἁρμόζει εἰς αἰῶνας. Ἀμήν.

ΕΠΙΜΕΤΡΟΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΑΟΜΜΑΤΟΝ ΤΗΝ ΑΡΤΙ ΕΝ ΡΩΣΙΑι ΑΣΚΗΣΑΣΑΝ.

Ποίημα Ἰσιδώρας Μοναχῆς Ἀγιεροθεϊτίσσης

Ἀπὸ σπαργάνων ὀφθαλμῶν Ματρώνα στερηθεῖσα,

Βυθὸν ἑώρας οὐρανοῦ ἐν ὄμμασι καρδίας.

Γονεῦσι σου δεδώρησαι ὡς κρήνη εὐλογίας,

Διαπορθμεύουσα αὐτοῖς τῶν ἀγαθῶν τὸν πλοῦτον.

Ἐγείρασα παράλυτον τούτῳ καθώς προεῖπας,

Ζωῆς ἐγένου ἄγγελος τῆς μήποτε ληγούσης.

Ἡλίου δίκην ἔλαμψας ἐν δυσχειμέροις χρόνοις,

Θαυμάτων φέγγει ζοφερὰν παύσασα τυραννίαν.

Ἱδρῶσι σου ἀσκητικοῖς τὰς ἀρετὰς εἰργάσω,

Καρποφοροῦσα ἐν Θεῷ ἀρίστην παγκαρπίαν.

Λαοῦ εἰς περιποίησιν τῶν Ῥώσων διεγένου,

Μέσον πολλῶν διάγουσα καὶ τούτους νουθετοῦσα.

Νηστείαν καὶ ἐγκράτειαν ἐκ βρέφους ἠρετίσω,

Ξενίζουσα τοῖς τρόποις σου τοὺς ἀσωμάτους νόας.

Ὅλως ἠρνήσω θησαυρῶν τὴν κτῆσιν τῶν προσκαίρων,

Πλοῦτον διὸ ἀπέθηκας ἐν οὐρανοῖς ἀξίως.

Ῥαθύμους πρός σωτήριον διήγειρας πορείαν,

Σοφαῖς σου παραινέσεσι καὶ εὐπειθέσι λόγοις.

Τὸν θεοχάρακτον Σταυρὸν ἔχουσα ἐν τῷ στήθει,

Ὑψαύχενας κατέβαλες ἐχθροὺς αὐτοῦ τῷ τύπῳ.

Φαιδραῖς τῆς πολιτείας σου καὶ ἱλαραῖς ἀκτίσιν,

Χριστοῦ τὸ Φῶς τὸ ἄκτιστον τῇ κτίσει κατεμφαίνεις.

Ψυχαῖς τὴν ῥῶσιν κρουνηδὸν ὁ τάφος σου προχέει,

Ὡς τούτῳ προεφήτευσας πρὸ τελευτῆς Ματρώνα.

ΕΠΙΜΕΤΡΟΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΑΝΤΙΣΤΡΟΦΟΝ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΑΟΜΜΑΤΟΝ ΤΗΝ ΑΡΤΙ ΕΝ ΡΩΣΙΑι ΑΣΚΗΣΑΣΑΝ.

Ποίημα Ἰσιδώρας Μοναχῆς Ἀγιεροθεϊτίσσης

Ὡς ἄλλος Νεῖλος νοητὸς θαύματα ῥέεις πλεῖστα,
Ψάμμον ὑπὲρ θαλάσσιον μετρούμενα τῷ πλήθει.
Χάριν γὰρ εὗρες ἄμετρον παρὰ Θεοῦ Ματρώνα,
Φωνὰς ἀκούειν ἱκετῶν τῶν πίστει δεομένων.
Ὑδάτων ὥσπερ ἄφθονος πηγὴ χαριτοβρύτων,
Τοὺς αὐλακας ἐπλήρωσας τῶν καρδιῶν πλουσίως.
Σεμνύνασα ἀσκήσει σου Χριστοῦ τὴν Ἐκκλησίαν,
Ῥωσίας στύλος ὄγδοος δικαίως ἐπεκλήθης.
Πυργώματα κατέῤῥιψας τοῦ δυσμενοῦς εἰς τέλος,
Ὅλην σου τὴν διάνοιαν ὑψώσασα Κυρίῳ.

Ξένοις, πτωχοῖς καὶ πάσχουσιν ἐπίκουρος ἐφάνης,

Νέμουσα συμπαθέστατον παρηγορίας λόγον.

Μονὴν ἐν σοὶ ἐποίησε Τριὰς ἡ Παναγία,

Λατρεία ὥσπερ λογικὴ Αὐτῇ γὰρ προσηνέχθης.

Κόραις ὀμμάτων σου κλεισταῖς Χριστοῦ τὸ Φῶς τὸ μέγα,

Ἰδοῦσα τὰ θαυμάσια Αὐτοῦ ἐδιηγήσω.

Θλίψεις ἐγκαρτερήσασα σαρκός σου παρειμένης,

Ἡδύτητος τῆς ὑπέρ νοῦν ἐγεύθης ἀκορέστως.

Ζάλην ἐκούφισας πολλῶν δεινῶς χειμαζομένων,

Ἐν τῷ λιμένι τῆς ζωῆς καλῶς καθωρμισθεῖσα.

Δένδρον ὡς ἱερώτατον τῆς εὐσεβοῦς Ῥωσίας,

Γλυκεῖς καὶ πολυπλάσιους καρποὺς κατεκληρώσω.

Βράβευσον Μῆτερ χαρμονὴν θεουργικοῦ ἐλέους,

Ἅπασι τοῖς εἰκόνα σου πιστῶς ἀσπαζομένοις.

ΕΥΧΗ ΕΙC ΤΗΝ ΟCΙΑΝ ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΡΩCΙΔΑ ΤΗΝ ΑΟΜΜΑΤΟΝ

ἀναγινωσκομένη ἐν τῷ Ἀποδείπνῳ.
Ὑπὸ Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός ἡμῶν, ὁ τῆς κτίσεως πάσης Δημιουργὸς καὶ συνοχεὺς καὶ κυβερνήτης πάνσοφος· ὁ τῷ λόγῳ μόνῳ φῶς ἐκ σκότους παραγαγών καὶ ἐν τῷ φωτὶ ἡμᾶς πορεύεσθαι ποιήσας· ὁ ἐν Πατρί καὶ Πνεύματι δοξαζόμενος καὶ ὑπ' Ἀγγέλων ἀσιγήτως ἀνυμνούμενος· ὁ Φῶς οἰκῶν ἀπρόσιτον καὶ τοῦ Φωτὸς τοῦ αἰωνίου ἡμᾶς κληρονόμους γενέσθαι καταξιώσας· ἡ τοῦ ἀληθινοῦ Φωτὸς καὶ τῆς ἀθανάτου ζωῆς ὑπόστασις· ὁ τοὺς Ἁγίους σου τοὺς σὲ ἀκολουθήσαντας, Φωτὸς τοῦ ἀϊδίου καθαρώτατα ἔσοπτρα ἀναδείξας· ὁ δι' αὐτῶν πάντας ἡμᾶς εἰς τὴν τοῦ Φωτὸς πολιτείαν ἀνακαλούμενος, τὴν δὲ σὴν ἄπειρον ἀγαθότητα δι' αὐτῶν, ἡμῖν τοῖς δεομένοις σου χαριζόμενος· ὁ τὴν ἀνείκαστόν σου δύναμιν ἐν τοῖς Ἁγίοις σου πᾶσιν θαυμαστώσας μόνε εὔσπλαγχνε καὶ τὴν ἀγιάζουσάν σου χάριν, δι' αὐτῶν ἡμῖν διοχετεύων πανοικτίρμον Κύριε· ὁ τὴν δωρεὰν τῶν ἰαμάτων διὰ τῶν Ἁγίων σου συμπαθῶς ἡμῖν προμηθούμενος καὶ τούτους ἐπικαλεῖσθαι ἡμᾶς διακελεύσας· ὁ δι' αὐτῶν θαύματα ἄπειρα ἐνεργῶν πᾶσι τοῖς πιστεύουσιν ἐξ ὅλης καρδίας· ὁ τὴν Ὁσίαν σου Ματρώναν, τὴν ἐν ὑστέροις τούτοις χρόνοις ἐν τῇ Ῥωσίᾳ ἀσκήσασαν, ἐν δὲ θαύμασι καὶ δυνάμεσι μεγάλαις τό Ὄνομά Σου τὸ πανάγιον δοξάσασαν καὶ Σὲ ἐν τῷ κόσμῳ παντὶ μεγαλύνασαν, ἀντιδοξάσας μόνε

Δυνατέ· ὁ τοὺς πηρωθέντας αὐτῆς ὀφθαλμούς, Φωτὶ τῷ ἀδύτῳ σου διαυγάσας, εἰς τὸ καθορᾶν τοῦ σοῦ κάλλους τὴν λαμπρότητα· ὁ τοὺς ἐπὶ χρόνοις πλείοσι παρειμένους πόδας αὐτῆς ἐπὶ τῇ ἀσαλεύτῳ πέτρᾳ τῶν ἐντολῶν σου ἑδράσας μόνε ἰσχυρέ· ὁ σοφίσας αὐτὴν εἰς τὸ τὰς θείας σου ἐντολὰς διδάξαι καὶ πολλοὺς ἐν τῇ πίστει σου στηρίξαι Ἀγαθέ· ὁ καταξιώσας αὐτὴν τῆς ἐγκρατείας τὴν ὁδὸν βαδίσαι, σαρκὸς δὲ ἀσθένειαν ἐν καρτερίᾳ ὑπομεῖναι καὶ τῆς τῶν τυράννων δουλείας τὸν πικρὸν ζυγὸν περιχαρῶς βαστᾶσαι, θλίψεις δὲ καὶ σκώμματα ὡσεὶ τρυφὴν ἡγεῖσθαι καὶ χαρᾶς πρόξενα τῆς ἀδιαδόχου· Αὐτὸς καὶ νῦν Δέσποτα, ταῖς τῆς Ὁσίας σου ταύτης πρεσβείαις ἀεὶ δυσωπούμενος καὶ εὐμενῶς ἡμῖν ἱλεούμενος, πρόσδεξαι καὶ νῦν τοὺς σοὺς ἱκέτας πολυέλεε, ὁ τῆς σῆς χάριτος τὰς δωρεὰς παρέχων. Καὶ ἀξίωσον ἡμᾶς τῷ σῷ φωτὶ πορεύεσθαι καὶ τὰς σὰς βουλὰς ἐν τῇ καρδίᾳ ἡμῶν διαπαντὸς μελετᾶν, τὰ δὲ σὰ προστάγματα ἐπιμελῶς φυλάττειν. Ἵνα καταξιωθέντες σοὶ δουλεύειν εἰλικρινῶς καὶ τὸ θέλημά σου τὸ Ἅγιον ἐν ἀληθείᾳ πράττειν, τὴν δὲ ἀγάπην πρὸς Σὲ ἐν καθαρότητι φυλάττειν, καθὼς ἡμῖν προσέταξας μόνε εὐσυμπάθητε, τῆς δόξης σου τύχωμεν καὶ τῆς λαμπρότητος τοῦ φωτός σου ἀπολαύσωμεν, μετὰ πάντων τῶν ἀπ' αἰώνων ἐκλεκτῶν σου. Ὅτι σοὶ ἁρμόζει ἡ τιμὴ καί ἡ μεγαλοπρέπεια καὶ σοὶ ἀνήκει ἡ δόξα καὶ ἡ προσκύνησις, σὺν τῷ προανάρχῳ σου Πατρὶ καὶ τῷ ὁμοουσίῳ καὶ ζωοποιῷ σου Πνεύματι πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰκόνα ἐξωφύλλου:
Θαυματουργός Ἱ. Εἰκών τῆς Ὁσ. Ματρώνας, κτῆμα Ὁ. Ἱερομονάχου, Ἀθήνα 2003.

Εἰκόνα ὀπισθοφύλλου:
Ἡ Ἱ. Λάρνακα τῶν Λειψάνων τῆς Ὁσίας στήν Ἱ. Μονή Ἁγ. Σκέπης Μόσχας.

Ἐκδοτική παραγωγή ΣΑΪΤΗΣ Τηλ. 210-34.76.090

Μοναχ Βενεδικτ

Иоанн
(Ермолов Иван)
+7-916-5963711